Poems in Ancient Greek
In Various Meters
On Various Topics
William S. Annis
Aoidoi.org
2005

January 21.

δουλείην νοέων περ ἐλευθερίην ἀγορεύει·
αἰσχρός τις νικᾷ ψεύδεα φὰς γλυκερά.

February 26. εἰς τοὺς τῶν βίβλων κλέπτας.

πιαίνεται μὴν ἀφρόνως ὕλῃ μόνον
κλέπτης βίβλου λαίμαργος, οὐδέ τινι λόγῳ.
εἴτ᾽ ἂν σπαράσσῃ ποικιλῶν ἑὸν δόμον
τὰ ζωγραφήματ᾽ ἐξελών, γραφὰς βαλών,
εἴτ᾽ ἂν μενοινῶν ἄργυρόν σφε πωλέῃ,
κατεσθιέσθω θηρσί θ᾽ ἁρπάσοισί τε.

March 31.

Κὴρ ὅτ᾽ ἐπέλθῃ μοι καμάτων ψυχὴν ἀπολύσειν,
μήτι μ᾽ ἔρυκε θεᾶς θαπτόμενον νέκυϊ.

April 27.

ἤδη ἑταῖρον ἔχεις, ἀλλ᾽ ἡδυλογεῖς παρά θ᾽ ἧσαι·
νῦν δὲ δίδως χάριτας τὰς ἐμὲ δεῖ μὴ ἔχειν;